THIS VOLUME IS DEDICATED
TO THE MEMORY OF
SIR ARTHUR PICKARD-CAMBRIDGE

# IN MEMORIAM

## A. W. P.-C.

ὦ σοφίας φέγγος, ψυχὴ σὺ πολύτροπε, χαῖρε
  πᾶσι Φιλέλλησιν τοῖς ἀγαθοῖς τε φίλος·
Μουσάων ἄρ' ὀπαδὸς ἔφυς αὐτῆς δ' ἀκόλουθος
  Μελπομένης, τραγικῶν προστάτιδος μελέων.
ἐν γὰρ γράμμασι σοῖσι πρόχειρα τὰ πάντα θέατρον
  δῆλον Ἀθηναίων ὅσσα ποεῖν δύναται·
γνωτόν σοι σκήνη περίακτοί τ' ἠδὲ λογεῖον
  καὶ πίνακές γ', εἰς φῶς ὁππόθ' ἕκαστ' ἐφάνη·
ἔγνως αὖτ ᾠδάς τε χόρων, ῥήσεις τε προσώπων,
  εἴδεά τ' ἐσθήτων οἷα φορεῖν ἐφίλουν.
οὐδ' ἔμελέν σοι μοῦνα παλαιῶν ἔργα ποητῶν,
  ἀλλ' ὅσα γαῖ' ἡμῖν πουλυβότειρα φέρει.
δένδρεα πάντ' ᾔδεις, καὶ τἄνθεα δαίδαλ' ἐν ἀγροῖς
  οἷά τ' ἄρ' ἀνθρώπων χειρὶ τραφέντα πρέπει·
ὀρνίθων σοὶ γνωτὰ γένη τά τε μικρὰ πετεινά,
  ψυχὴ φαιδρωπὸς σής τε βλάβη γ' ἐρίων·
ἀλλά μάλιστ' ἀγαπητὸς ἔην δολόμητις ἀράχνη·
  σοὶ τόδε παιδὶ πάλαι κῆδος ἐφῆψε πατήρ.
νῦν δ' ἄρα χαῖρε, Πρόεδρε· θανὼν σὺ γὰρ οὐχὶ τέθνηκας
  ἐν μνήμῃ δὲ φίλων ζῇς ἔτι καὶ θαλέθεις.

C. B.



https://doi.org/10.1017/S0075426900077661 Published online by Cambridge University Press